**Βιβλία - Πηγαί**

**Ἱερατικόν**

Λειτουργία Ἁγίου Χρυσοστόμου

**Ὀκτώηχος - Ἦχος γ΄.**

Τῇ Κυριακῇ Πρωΐ

**Μηναῖον - ΤΗ Δ΄ ΣΕΠΤΕΜΒΡΙΟΥ**

Μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Βαβύλα, Ἐπισκόπου Ἀντιοχείας

**Books - Sources**

**Hieratikon**

Liturgy of St. John Chrysostom

**Octoechos - Mode 3.**

On Sunday Morning

**Menaion - September 4**

Memory of the Holy Hieromartyr Babylas, Bishop of Antioch

---

## ΛΕΙΤΟΥΡΓΙΑ ΑΓΙΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

## LITURGY OF ST. JOHN CHRYSOSTOM

*Unless otherwise indicated, the texts of the prayers and hymns of the Divine Liturgy are from: The Divine Liturgy of St. John Chrysostom (© 2016), used with permission from the Greek Orthodox Archdiocese of America. This text was produced by the Greek Orthodox Archdiocese of America and approved by the Ecumenical Patriarchate.*

**ΔΙΑΚΟΝΟΣ**

Εὐλόγησον, δέσποτα.

**DEACON**

Master, bless!

**ΙΕΡΕΥΣ**

Εὐλογημένη ἡ Βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*( Ἀμήν. )*

**PRIEST**

Blessed is the Kingdom of the Father and of the Son and of the Holy Spirit, now and forever and to the ages of ages.

*( Amen. )*

## ΤΑ ΕΙΡΗΝΙΚΑ ἢ Η ΜΕΓΑΛΗ ΣΥΝΑΠΤΗ

## THE LITANY OF PEACE OR GREAT LITANY

**ΔΙΑΚΟΝΟΣ**

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

**DEACON**

In peace, let us pray to the Lord.

*( Lord, have mercy. )*

For the peace from above and for the salvation of our souls, let us pray to the Lord.

*( Lord, have mercy. )*

For the peace of the whole world, for the stability of the holy churches of God, and for the unity of all, let us pray to the Lord.

*( Κύριε, ἐλέησον. )*

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν γένους, τοῦ προέδρου καὶ πάσης ἀρχῆς καὶ ἐξουσίας ἐν τῷ κράτει ἡμῶν, καὶ τοῦ κατὰ ξηρὰν θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

Ὑπὲρ τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, τῆς Ἱερᾶς ἡμῶν Ἀρχιεπισκοπῆς, [τῆς Ἱερᾶς Μητροπόλεως ταύτης,] τῆς πόλεως καὶ κοινότητος ταύτης, πάσης πόλεως, χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

*( Lord, have mercy. )*

For this holy house and for those who enter it with faith, reverence, and the fear of God, let us pray to the Lord.

*( Lord, have mercy. )*

For pious and Orthodox Christians, let us pray to the Lord.

*( Lord, have mercy. )*

For our Archbishop (name), for the honorable presbyterate, for the diaconate in Christ, and for all the clergy and the people, let us pray to the Lord.

*( Lord, have mercy. )*

For our country, the president, all those in public service, and for our armed forces everywhere, let us pray to the Lord.

*( Lord, have mercy. )*

For the Great and Holy Church of Christ, for our Holy Archdiocese, [for this Holy Metropolis,] for this city and parish, for every city and land, and for the faithful who live in them, let us pray to the Lord.

*( Lord, have mercy. )*

For favorable weather, for an abundance of the fruits of the earth, and for peaceful times, let us pray to the Lord.

*( Lord, have mercy. )*

For those who travel by land, sea, and air, for the sick, the suffering, the captives and for their salvation, let us pray to the Lord.

*( Lord, have mercy. )*

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, καὶ ἀπὸ τοῦ ἀπειλοῦντος ἡμᾶς λοιμοῦ τοῦ κορονοϊοῦ, τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

Ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν τῶν κατὰ τῆς νόσου τοῦ κορονοϊοῦ ἀγωνιζομένων, ἰατρῶν, νοσηλευτῶν καὶ ἐπιστημόνων, τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

*( Κύριε, ἐλέησον. )*

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*( Σοί, Κύριε. )*

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

ΕΥΧΗ ΠΡΩΤΟΥ ΑΝΤΙΦΩΝΟΥ

Κύριε ὁ Θεὸς ἡμῶν, οὗ τὸ κράτος ἀνείκαστον καὶ ἡ δόξα ἀκατάληπτος, οὗ τὸ ἔλεος ἀμέτρητον καὶ ἡ φιλανθρωπία ἄφατος· αὐτός, Δέσποτα, κατὰ τὴν εὐσπλαγχνίαν σου, ἐπίβλεψον ἐφ’ ἡμᾶς καὶ ἐπὶ τὸν ἅγιον οἶκον τοῦτον, καὶ ποίησον μεθ’ ἡμῶν καὶ τῶν συνευχομένων ἡμῖν πλούσια τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου.

**ΙΕΡΕΥΣ**

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*( Ἀμήν. )*

For our deliverance from all affliction, wrath, danger and distress, and from the peril of the coronavirus against us, let us pray to the Lord.

*( Lord, have mercy. )*

For our brethren, those who lead the fight against the coronavirus, the doctors, the medical workers and the scientists, let us pray to the Lord.

*( Lord, have mercy. )*

Help us, save us, have mercy on us, and protect us, O God, by Your grace.

*( Lord, have mercy. )*

Commemorating our most holy, pure, blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

*( To You, O Lord. )*

**PRIEST** *(in a low voice)*

THE PRAYER OF THE FIRST ANTIPHON

Lord, our God, Whose dominion is incomparable and glory incomprehensible; Whose mercy is immeasurable, and love for mankind ineffable: Look upon us and upon this holy house in Your loving-kindness, and grant to us and to those who pray with us Your abundant mercy and compassion.

**PRIEST**

For to You belong all glory, honor, and worship, to the Father and to the Son and to the Holy Spirit, now and forever and to the ages of ages.

*( Amen. )*

**ΧΟΡΟΣ**

**Ἀντίφωνον Α΄. Ἦχος β΄.**

**Στίχ. α΄.** *Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.*

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

**Στίχ. β΄.** *Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.*

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

**Στίχ. γ΄.** *Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ Βασιλεία αὐτοῦ πάντων δεσπόζει.*

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

*Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.*

*Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

**ΜΙΚΡΑ ΣΥΝΑΠΤΗ**

**ΔΙΑΚΟΝΟΣ**

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

*( Κύριε, ἐλέησον. )*

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν

**CHOIR**

**Antiphon I. Mode 2.**

**Verse 1:** *Bless the Lord, O my soul, and everything within me, bless His holy name.* [SAAS]

Through the intercessions of the Theotokos, Savior, save us. [GOA]

**Verse 2:** *Bless the Lord, O my soul, and forget not all His rewards.* [SAAS]

Through the intercessions of the Theotokos, Savior, save us.

**Verse 3:** *The Lord prepared His throne in heaven, and His Kingdom rules over all.* [SAAS]

Through the intercessions of the Theotokos, Savior, save us.

*Glory to the Father and the Son and the Holy Spirit.*

*Both now and ever and to the ages of ages. Amen.*

Through the intercessions of the Theotokos, Savior, save us.

**THE SMALL LITANY**

**DEACON**

Again and again, in peace, let us pray to the Lord.

*( Lord, have mercy. )*

Help us, save us, have mercy on us, and protect us, O God, by Your grace.

*( Lord, have mercy. )*

Commemorating our most holy, pure, blessed, and glorious Lady, the Theotokos and

Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*( Σοί, Κύριε. )*

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

ΕΥΧΗ ΔΕΥΤΕΡΟΥ ΑΝΤΙΦΩΝΟΥ

Κύριε ὁ Θεὸς ἡμῶν, σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου· τὸ πλήρωμα τῆς Ἐκκλησίας σου φύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ.

**ΙΕΡΕΥΣ**

Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*( Ἀμήν. )*

**ΧΟΡΟΣ**

**Ἀντίφωνον Β΄. Ἦχος β΄.**

**Στίχ. α΄.** *Αἴνει, ἡ ψυχή μου, τὸν Κύριον· αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου· ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.*

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι, Ἀλληλούϊα.

**Στίχ. β΄.** *Μακάριος οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.*

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι, Ἀλληλούϊα.

**Στίχ. γ΄.** *Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν.*

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι, Ἀλληλούϊα.

ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

*( To You, O Lord. )*

**PRIEST** *(in a low voice)*

THE PRAYER OF THE SECOND ANTIPHON

Lord, our God, save Your people and bless Your inheritance. Protect the fullness of Your Church. Sanctify those who love the beauty of Your house. Glorify them in return by Your divine power, and forsake us not who have set our hope in You.

**PRIEST**

For Yours is the dominion, and Yours is the kingdom and the power and the glory, of the Father and of the Son and of the Holy Spirit, now and forever and to the ages of ages.

*( Amen. )*

**CHOIR**

**Antiphon II. Mode 2.**

**Verse 1:** *Praise the Lord, O my soul! I shall praise the Lord while I live; I shall sing to my God as long as I exist.* [SAAS]

Save us, O Son of God, risen from the dead. We sing to You, Alleluia. [GOA]

**Verse 2:** *Blessed is he whose help is the God of Jacob; his hope is in the Lord his God.* [SAAS]

Save us, O Son of God, risen from the dead. We sing to You, Alleluia.

**Verse 3:** *The Lord shall reign forever; your God, O Zion, to all generations.* [SAAS]

Save us, O Son of God, risen from the dead. We sing to You, Alleluia.

*Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.*

*Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

Ὁ Μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς Ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

## ΜΙΚΡΑ ΣΥΝΑΠΤΗ

**ΔΙΑΚΟΝΟΣ**

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

*( Κύριε, ἐλέησον. )*

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*( Σοί, Κύριε. )*

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

ΕΥΧΗ ΤΡΙΤΟΥ ΑΝΤΙΦΩΝΟΥ

Ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους ἡμῖν χαρισάμενος προσευχάς, ὁ καὶ δυσὶ καὶ τρισὶ συμφωνοῦσιν ἐπὶ τῷ ὀνόματί σου τὰς αἰτήσεις παρέχειν ἐπαγγειλάμενος· Αὐτὸς καὶ νῦν τῶν δούλων σου τὰ αἰτήματα πρὸς τὸ συμφέρον πλήρωσον, χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον χαριζόμενος.

*Glory to the Father and the Son and the Holy Spirit.*

*Both now and ever and to the ages of ages. Amen.*

Only-begotten Son and Logos of God, being immortal, You condescended for our salvation to take flesh from the holy Theotokos and ever-virgin Mary and, without change, became man. Christ, our God, You were crucified and conquered death by death. Being one of the Holy Trinity, glorified with the Father and the Holy Spirit: Save us. [GOA]

## THE SMALL LITANY

**DEACON**

Again and again, in peace, let us pray to the Lord.

*( Lord, have mercy. )*

Help us, save us, have mercy on us, and protect us, O God, by Your grace.

*( Lord, have mercy. )*

Commemorating our most holy, pure, blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

*( To You, O Lord. )*

**PRIEST** *(in a low voice)*

THE PRAYER OF THE THIRD ANTIPHON

Lord, You have granted us to offer these common prayers in unison and have promised that when two or three agree in Your name, You will grant their requests. Fulfill now, O Lord, the petitions of Your servants as may be of benefit to them, granting us in the present age the knowledge of Your truth, and in the age to come eternal life.

**ΙΕΡΕΥΣ**

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*( Ἀμήν. )*

**ΧΟΡΟΣ**

**Ἀντίφωνον Γ΄.**

**Ἦχος γ΄.**

**Στίχ. α΄.** *Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.*

**Ἀπολυτίκιον Ἀναστάσιμον.**

**Ἦχος γ΄.**

Εὐφραινέσθω τὰ οὐράνια, ἀγαλλιάσθω τὰ ἐπίγεια, ὅτι ἐποίησε κράτος, ἐν βραχίονι αὐτοῦ, ὁ Κύριος, ἐπάτησε τῷ θανάτῳ τὸν θάνατον, πρωτότοκος τῶν νεκρῶν ἐγένετο, ἐκ κοιλίας ᾅδου ἐρρύσατο ἡμᾶς, καὶ παρέσχε τῷ κόσμῳ τὸ μέγα ἔλεος.

**Στίχ. β΄.** *Αἰνεσάτωσαν αὐτὸν οἱ οὐρανοὶ καὶ ἡ γῆ.*

Εὐφραινέσθω τὰ οὐράνια, ἀγαλλιάσθω τὰ ἐπίγεια, ὅτι ἐποίησε κράτος, ἐν βραχίονι αὐτοῦ, ὁ Κύριος, ἐπάτησε τῷ θανάτῳ τὸν θάνατον, πρωτότοκος τῶν νεκρῶν ἐγένετο, ἐκ κοιλίας ᾅδου ἐρρύσατο ἡμᾶς, καὶ παρέσχε τῷ κόσμῳ τὸ μέγα ἔλεος.

## ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ

*Ψαλλομένου δὲ τοῦ Γ΄ Ἀντιφώνου (μετὰ τῶν στίχων), ὁ Ἱερεὺς καὶ ὁ Διάκονος στάντες ἔμπροσθεν τῆς ἁγίας Τραπέζης προσκυνοῦσι τρίς. Ὁ Ἱερεὺς εἶτα τὸ ἱερὸν Εὐαγγέλιον δίδωσι τῷ Διακόνῳ, ὅστις παραλαμβάνων αὐτὸ ἀσπάζεται τὴν χεῖρα τοῦ Ἱερέως καί, προπορευομένου λαμπαδούχου*

**PRIEST**

For You, O God, are good and love mankind, and to You we offer glory, to the Father and to the Son and to the Holy Spirit, now and forever, and to the ages of ages.

*( Amen. )*

**CHOIR**

**Antiphon III.**

**Mode 3.**

**Verse 1:** *This is the day the Lord made; let us greatly rejoice and be glad therein.* [SAAS]

**Resurrectional Apolytikion.**

**Mode 3.**

Let the heavens sing for joy, and let everything on earth be glad. For with His arm the Lord has worked power. He trampled death under foot by means of death; and He became the firstborn from the dead. From the maw of Hades He delivered us; and He granted the world His great mercy. [SD]

**Verse 2:** *Let heaven and earth praise Him.* [SAAS]

Let the heavens sing for joy, and let everything on earth be glad. For with His arm the Lord has worked power. He trampled death under foot by means of death; and He became the firstborn from the dead. From the maw of Hades He delivered us; and He granted the world His great mercy. [SD]

## THE SMALL ENTRANCE

*As the Third Antiphon is being sung (with its verses), the Priest and Deacon bow three times before the holy Table. Then the Priest gives the Holy Gospel to the Deacon, who kisses the Priest's hand as he receives it, and then circles the holy Table with the Priest following him. Preceded by*

*καὶ ἑξαπτερύγων, περιέρχεται κύκλῳ τὴν ἁγίαν Τράπεζαν, ἑπομένου τοῦ Ἱερέως καὶ ποιοῦσιν εἴσοδον (τὴν λεγομένην μικράν). Μὴ ὑπάρχοντος δὲ Διακόνου λαμβάνει τὸ ἱερὸν Εὐαγγέλιον ὁ Ἱερεὺς πρὸ προσώπου αὐτοῦ. Διασχίχαντες δὲ τὸ βόρειον κλίτος καὶ τὸ κεντρικὸν ἔρχονται εἰς τὸ μέσον τοῦ ναοῦ καὶ σταθέντες κλίνουσι τὰς κεφαλάς, τοῦ Διακόνου εἰπόντος·*

**ΔΙΑΚΟΝΟΣ** *(χαμηλοφώνως)*

Τοῦ Κυρίου δεηθῶμεν. Κύριε, ἐλέησον.

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

ΕΥΧΗ ΤΗΣ ΕΙΣΟΔΟΥ

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα καὶ στρατιὰς ἀγγέλων καὶ ἀρχαγγέλων εἰς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν εἴσοδον ἁγίων ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**ΔΙΑΚΟΝΟΣ** *(χαμηλοφώνως)*

Εὐλόγησον, δέσποτα, τὴν ἁγίαν εἴσοδον.

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

Εὐλογημένη ἡ εἴσοδος τῶν ἁγίων σου, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**ΔΙΑΚΟΝΟΣ**

Σοφία. Ὀρθοί.

**ΧΟΡΟΣ**

**Εἰσοδικόν. Ἦχος β΄.**

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν,

ψάλλοντάς σοι, Ἀλληλούϊα.

## Ὕμνοι μετὰ τὴν Μικρὰν Εἴσοδον

**ΧΟΡΟΣ**

Τῆς Ὀκτωήχου - - -

**Ἀπολυτίκιον Ἀναστάσιμον.**

**Ἦχος γ΄.**

Εὐφραινέσθω τὰ οὐράνια, ἀγαλλιάσθω τὰ ἐπίγεια, ὅτι ἐποίησε κράτος, ἐν βραχίονι

*altar servers holding candles and fans, they exit through the north door for the so-called Small Entrance. When there is no Deacon, the Priest takes the holy Gospel and holds it up in front of his face. When they reach the center of the church, they stop and bow their heads, and the Deacon says in a low voice:*

**DEACON** *(in a low voice)*

Let us pray to the Lord. Lord, have mercy.

**PRIEST** *(in a low voice)*

THE ENTRANCE PRAYER

Master, Lord our God, Who has established the orders and hosts of angels and archangels in heaven to minister to Your glory, grant that holy angels may enter with us, that together we may celebrate and glorify Your goodness. For to You belong all glory, honor, and worship, to the Father and to the Son and to the Holy Spirit, now and forever and to the ages of ages. Amen.

**DEACON** *(in a low voice)*

Master, bless the holy entrance.

**PRIEST** *(in a low voice)*

Blessed be the entrance of Your holy ones always, now and forever and to the ages of ages. Amen.

**DEACON**

Wisdom. Arise.

**CHOIR**

**Entrance Hymn. Mode 2.**

Come, let us worship and bow down before Christ. Save us, O Son of God, risen from the dead. [GOA]

We sing to You, Alleluia.

## Hymns After the Small Entrance.

**CHOIR**

From Octoechos - - -

**Resurrectional Apolytikion.**

**Mode 3.**

Let the heavens sing for joy, and let everything on earth be glad. For with His arm

αὐτοῦ, ὁ Κύριος, ἐπάτησε τῷ θανάτῳ τὸν θάνατον, πρωτότοκος τῶν νεκρῶν ἐγένετο, ἐκ κοιλίας ᾅδου ἐῤῥύσατο ἡμᾶς, καὶ παρέσχε τῷ κόσμῳ τὸ μέγα ἔλεος.

the Lord has worked power. He trampled death under foot by means of death; and He became the firstborn from the dead. From the maw of Hades He delivered us; and He granted the world His great mercy. [SD]

**Τοῦ Ἱερομάρτυρος.**
**Ἦχος δ΄.**

Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος, τῶν Ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὗρες Θεόπνευστε, εἰς θεωρίας ἐπίβασιν· διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίστει ἐνήθλησας μέχρις αἵματος, Ἱερομάρτυς Βαβύλα· πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**For the Hieromartyr.**
**Mode 4.**

Becoming a partner with the Apostles
in way of life and successor to their thrones,
O God-inspired Saint, in the active life you found an entrance to contemplation. Hence you rightly expounded the word of truth, and you shed your blood in struggling for the faith, O Hieromartyr Babylas. Intercede with Christ our God, beseeching Him to save our souls. [SD]

**Τοῦ Ναοῦ.**

(Τὸ Ἀπολυτίκιον τοῦ Ναοῦ.)

**Apolytikion of the Parish Church**

(Apolytikion of the Parish Church.) [GOA]

Τοῦ Μηναίου - - -

**Κοντάκιον.**
**Ἦχος δ΄.**

Ἰωακεὶμ καὶ Ἄννα ὀνειδισμοῦ ἀτεκνίας, καὶ Ἀδὰμ καὶ Εὔα, ἐκ τῆς φθορᾶς τοῦ θανάτου, ἠλευθερώθησαν, Ἄχραντε, ἐν τῇ ἁγίᾳ γεννήσει σου· αὐτὴν ἑορτάζει καὶ ὁ λαός σου, ἐνοχῆς τῶν πταισμάτων, λυτρωθεὶς ἐν τῷ κράζειν σοι· Ἡ στεῖρα τίκτει τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

From Menaion - - -

**Kontakion.**
**Mode 4.**

Both Joachim and Anna from their sterility's stigma, and Adam and Eve from their mortality's ruin have been set free, O immaculate Maid, by your holy nativity. For this do your people hold celebration, redeemed from the guilt of transgression as they cry to you, "The barren one bears the Theotokos, the nourisher of our Life." [GKD]

**ΔΙΑΚΟΝΟΣ**

Τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

**DEACON**

Let us pray to the Lord.

*( Lord, have mercy. )*

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

ΕΥΧΗ ΤΟΥ ΤΡΙΣΑΓΙΟΥ ΥΜΝΟΥ

Ὁ Θεὸς ὁ ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, ὁ τρισαγίῳ φωνῇ ὑπὸ τῶν Σεραφεὶμ ἀνυμνούμενος καὶ ὑπὸ τῶν Χερουβεὶμ δοξολογούμενος καὶ ὑπὸ πάσης ἐπουρανίου δυνάμεως προσκυνούμενος· ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα· ὁ κτίσας τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν καὶ παντί σου χαρίσματι κατακοσμήσας· ὁ διδοὺς αἰτοῦντι σοφίαν καὶ σύνεσιν καὶ μὴ παρορῶν ἁμαρτάνοντα, ἀλλὰ θέμενος ἐπὶ σωτηρίᾳ μετάνοιαν· ὁ καταξιώσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου καὶ ἐν τῇ ὥρᾳ ταύτῃ στῆναι κατενώπιον τῆς δόξης τοῦ ἁγίου σου θυσιαστηρίου καὶ τὴν ὀφειλομένην σοι προσκύνησιν καὶ δοξολογίαν προσάγειν· Αὐτός, Δέσποτα, πρόσδεξαι καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν τρισάγιον ὕμνον καὶ ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου. Συγχώρησον ἡμῖν πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον· ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα· καὶ δὸς ἡμῖν ἐν ὁσιότητι λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν· πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων.

**PRIEST** *(in a low voice)*

THE PRAYER OF THE TRISAGION HYMN

O Holy God, Who is resting among the holy ones, praised by the Seraphim with the thrice-holy voice, glorified by the Cherubim, and worshiped by every celestial power, You have brought all things into being out of nothing. You have created man according to Your image and likeness and adorned him with all the gifts of Your grace. You give wisdom and understanding to the one who asks, and You overlook not the sinner, but have set repentance as the way of salvation. You have granted us, Your humble and unworthy servants, to stand even at this hour before the glory of Your holy Altar of sacrifice and to offer to You due worship and praise. Master, accept the Trisagion Hymn also from the lips of us sinners, and visit us in Your goodness. Forgive all our voluntary and involuntary transgressions, sanctify our souls and bodies, and grant that we may worship You in holiness all the days of our lives, through the intercessions of the holy Theotokos and of all the saints who have pleased You throughout the ages.

**ΙΕΡΕΥΣ**

Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί…

**PRIEST**

For You, our God, are holy, and to You we offer up glory, to the Father and to the Son and to the Holy Spirit, now and forever,

**ΔΙΑΚΟΝΟΣ**

…καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**DEACON**

And to the ages of ages.

**ΧΟΡΟΣ**

Ἀμήν.

**CHOIR**

Amen.

## Ο ΤΡΙΣΑΓΙΟΣ ΥΜΝΟΣ

Ἅγιος ὁ Θεός, ἅγιος Ἰσχυρός, ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (ἐκ γ´)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

## THE TRISAGION HYMN

Holy God, Holy Mighty, Holy Immortal, have mercy on us. (3) [GOA]

Glory to the Father and the Son and the Holy Spirit. Both now and ever and to the ages of ages. Amen.

Holy Immortal, have mercy on us.

**ΔΙΑΚΟΝΟΣ**

Δύναμις.

**DEACON**

Dynamis.

**ΔΙΑΚΟΝΟΣ** *(χαμηλοφώνως)*

Κέλευσον, δέσποτα.

**ΙΕΡΕΥΣ**

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

**ΔΙΑΚΟΝΟΣ**

Εὐλόγησον, δέσποτα, τὴν ἄνω καθέδραν.

**ΙΕΡΕΥΣ**

Εὐλογημένος εἶ, ὁ ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου, ὁ καθήμενος ἐπί τῶν Χερουβείμ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**ΧΟΡΟΣ**

**Δύναμις.**

Ἅγιος ὁ Θεός, ἅγιος Ἰσχυρός, ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

## Ὁ Ἀπόστολος

Κυριακὴ ΙΒ´ Ἑβδομάδος

**ΔΙΑΚΟΝΟΣ**

Πρόσχωμεν.

**ΑΝΑΓΝΩΣΤΗΣ**

Προκείμενον. Ἦχος γ´. Ψαλμὸς 46.

Ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε, ψάλατε τῷ βασιλεῖ ἡμῶν, ψάλατε.

**Στίχ.** *Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως.*

**ΔΙΑΚΟΝΟΣ**

Σοφία.

**ΑΝΑΓΝΩΣΤΗΣ**

Πρὸς Κορινθίους Α´ Ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

**ΔΙΑΚΟΝΟΣ**

Πρόσχωμεν.

**DEACON** *(in a low voice)*

Command, Master.

**PRIEST**

Blessed is He Who comes in the name of the Lord.

**DEACON**

Master, bless the throne on high.

**PRIEST**

Blessed are You upon the throne of the glory of Your kingdom, enthroned upon the Cherubim always, now and forever and to the ages of ages. Amen.

**CHOIR**

**Dynamis.**

Holy God, Holy Mighty, Holy Immortal, have mercy on us. [GOA]

## The Epistle

12th Sunday

**DEACON**

Let us be attentive.

**READER**

Prokeimenon. Mode 3. Psalm 46.

Sing praises to God; sing praises; sing praises to our King; sing praises. [SAAS]

**Verse:** *Oh, clap your hands, all you nations; shout to God with the voice of rejoicing.* [SAAS]

**DEACON**

Wisdom.

**READER**

The reading is from Paul's First Letter to the Corinthians.

**DEACON**

Let us be attentive.

**ΑΝΑΓΝΩΣΤΗΣ**

1Κορ 15:1-11

Ἀδελφοί, γνωρίζω ὑμῖν τὸ Εὐαγγέλιον ὃ εὐηγγελισάμην ὑμῖν, ὃ καὶ παρελάβετε, ἐν ᾧ καὶ ἑστήκατε, δι’ οὗ καὶ σῴζεσθε, τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν εἰ κατέχετε, ἐκτὸς εἰ μὴ εἰκῇ ἐπιστεύσατε. Παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις, ὃ καὶ παρέλαβον, ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς γραφάς· καὶ ὅτι ἐτάφη, καὶ ὅτι ἐγήγερται τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς· καὶ ὅτι ὤφθη Κηφᾷ, εἶτα τοῖς δώδεκα· ἔπειτα ὤφθη ἐπάνω πεντακοσίοις ἀδελφοῖς ἐφάπαξ, ἐξ ὧν οἱ πλείονες μένουσιν ἕως ἄρτι, τινὲς δὲ καὶ ἐκοιμήθησαν· ἔπειτα ὤφθη Ἰακώβῳ, εἶτα τοῖς ἀποστόλοις πᾶσιν· ἔσχατον δὲ πάντων ὡσπερεὶ τῷ ἐκτρώματι ὤφθη κἀμοί. 'Εγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων, ὃς οὔκ εἰμι ἱκανὸς καλεῖσθαι ἀπόστολος, διότι ἐδίωξα τὴν Ἐκκλησίαν τοῦ Θεοῦ· χάριτι δὲ Θεοῦ εἰμι ὅ εἰμι· καὶ ἡ χάρις αὐτοῦ ἡ εἰς ἐμὲ οὐ κενὴ ἐγενήθη, ἀλλὰ περισσότερον αὐτῶν πάντων ἐκοπίασα· οὐκ ἐγὼ δὲ ἀλλ’ ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί. Εἴτε οὖν ἐγὼ εἴτε ἐκεῖνοι, οὕτως κηρύσσομεν καὶ οὕτως ἐπιστεύσατε.

**READER**

1 Cor. 15:1-11

Brethren, I would remind you in what terms I preached to you the gospel, which you received, in which you stand, by which you are saved, if you hold it fast - unless you believed in vain. For I delivered to you as of first importance what I also received, that Christ died for our sins in accordance with the scriptures, that he was buried, that he was raised on the third day in accordance with the scriptures, and that he appeared to Cephas, then to the twelve. Then he appeared to more than five hundred brethren at one time, most of whom are still alive, though some have fallen asleep. Then he appeared to James, then to all the apostles. Last of all, as to one untimely born, he appeared also to me. For I am the least of the apostles, unfit to be called an apostle, because I persecuted the church of God. But by the grace of God I am what I am, and his grace toward me was not in vain. On the contrary, I worked harder than any of them, though it was not I, but the grace of God which is with me. Whether then it was I or they, so we preach and so you believed. [RSV]

**ΙΕΡΕΥΣ**

Εἰρήνη σοι τῷ ἀναγνώντι.

**PRIEST**

Peace be with you the reader.

**ΧΟΡΟΣ**

Ἀλληλούϊα. Ἀλληλούϊα. Ἀλληλούϊα.

*(Σήμερα ἐπικρατεῖ ἡ συνήθεια νὰ ψάλλεται Ἀλληλούϊα τρίς, ἄνευ στίχων. Οἱ στίχοι εὑρίσκονται εἰς τὸ Liturgy - Variable Parts τῆς ἡμέρας.)*

**CHOIR**

Alleluia. Alleluia. Alleluia.

*(Currently in the GOA, Alleluia is sung thrice without verses. The verses may be found in the Liturgy - Variable Parts of the day.)*

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

ΕΥΧΗ ΤΟΥ ΕΥΑΓΓΕΛΙΟΥ

Ἔλλαμψον ἐν ταῖς καρδίαις ἡμῶν, φιλάνθρωπε Δέσποτα, τὸ τῆς σῆς θεογνωσίας ἀκήρατον φῶς καὶ τοὺς τῆς διανοίας ἡμῶν διάνοιξον ὀφθαλμοὺς εἰς τὴν τῶν εὐαγγελικῶν σου κηρυγμάτων κατανόησιν. Ἔνθες ἡμῖν καὶ τὸν τῶν μακαρίων σου ἐντολῶν φόβον, ἵνα, τὰς σαρκικὰς ἐπιθυμίας πάσας καταπατήσαντες, πνευματικὴν πολιτείαν μετέλθωμεν, πάντα τὰ πρὸς εὐαρέστησιν τὴν σὴν καὶ φρονοῦντες καὶ πράττοντες. Σὺ γὰρ εἶ ὁ φωτισμὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, Χριστὲ ὁ Θεός, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**PRIEST** *(in a low voice)*

THE PRAYER OF THE HOLY GOSPEL

Shine in our hearts, O Master Who loves mankind, the pure light of Your divine knowledge, and open the eyes of our mind that we may comprehend the proclamations of Your Gospels. Instill in us also reverence for Your blessed commandments so that, having trampled down all carnal desires, we may lead a spiritual life, both thinking and doing all those things that are pleasing to You. For You, Christ our God, are the illumination of our souls and bodies, and to You we offer up glory, together with Your Father, Who is without beginning, and Your all-holy, good, and life-creating Spirit, now and forever and to the ages of ages. Amen.

## Τὸ Εὐαγγέλιον

Κυριακὴ ΙΒ´ τοῦ Ματθαίου

**ΔΙΑΚΟΝΟΣ**

Σοφία. Ὀρθοί. Ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

**ΙΕΡΕΥΣ**

Εἰρήνη πᾶσι.

*( Καὶ τῷ πνεύματί σου. )*

**ΔΙΑΚΟΝΟΣ**

Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

**ΙΕΡΕΥΣ**

Πρόσχωμεν.

*( Δόξα σοι, Κύριε, δόξα σοι. )*

**ΔΙΑΚΟΝΟΣ**

Ματ ιθ´ 16 - 26

Τῷ καιρῷ ἐκείνῳ, νεανίσκος τις προσῆλθε τῷ Ἰησοῦ γονυπετῶν αὐτῷ καὶ λέγων· Διδάσκαλε ἀγαθέ, τί ἀγαθὸν ποιήσω ἵνα ἔχω ζωὴν αἰώνιον; ὁ δὲ εἶπεν αὐτῷ· Τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ Θεός. εἰ δὲ θέλεις εἰσελθεῖν εἰς τὴν ζωήν, τήρησον τὰς ἐντολάς. λέγει αὐτῷ· Ποίας; ὁ δὲ Ἰησοῦς εἶπε·

## The Gospel

12th Sunday of Matthew

**DEACON**

Wisdom. Arise. Let us hear the Holy Gospel.

**PRIEST**

Peace be with all.

*( And with your spirit. )*

**DEACON**

The reading is from the Holy Gospel according to Matthew.

**PRIEST**

Let us be attentive.

*( Glory to You, O Lord, glory to You. )*

**DEACON**

Mt. 19:16-26

At that time, a young man came up to Jesus, kneeling and saying, "Good Teacher, what good deed must I do, to have eternal life?" And he said to him, "Why do you call me good? One there is who is good. If you would enter life, keep the commandments." He said to him, "Which?" And Jesus said, "You

Τὸ οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις, τίμα τὸν πατέρα καὶ τὴν μητέρα, καί, ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. λέγει αὐτῷ ὁ νεανίσκος· Πάντα ταῦτα ἐφυλαξάμην ἐκ νεότητός μου· τί ἔτι ὑστερῶ; ἔφη αὐτῷ ὁ Ἰησοῦς· Εἰ θέλεις τέλειος εἶναι, ὕπαγε πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ, καὶ δεῦρο ἀκολούθει μοι. ἀκούσας δὲ ὁ νεανίσκος τὸν λόγον ἀπῆλθε λυπούμενος· ἦν γὰρ ἔχων κτήματα πολλά. Ὁ δὲ Ἰησοῦς εἶπε τοῖς μαθηταῖς αὐτοῦ· Ἀμὴν λέγω ὑμῖν ὅτι δυσκόλως πλούσιος εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. πάλιν δὲ λέγω ὑμῖν, εὐκοπώτερόν ἐστι κάμηλον διὰ τρυπήματος ῥαφίδος διελθεῖν ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν. ἀκούσαντες δὲ οἱ μαθηταὶ αὐτοῦ ἐξεπλήσσοντο σφόδρα λέγοντες· Τίς ἄρα δύναται σωθῆναι; ἐμβλέψας δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· Παρὰ ἀνθρώποις τοῦτο ἀδύνατόν ἐστι, παρὰ δὲ Θεῷ πάντα δυνατά ἐστι.

shall not kill, You shall not commit adultery, You shall not steal, You shall not bear false witness, Honor your father and mother, and You shall love your neighbor as yourself." The young man said to him, "All these I have observed; what do I still lack?" Jesus said to him, "If you would be perfect, go, sell what you possess and give to the poor, and you will have treasure in heaven; and come, follow me." When the young man heard this he went away sorrowful; for he had great possessions. And Jesus said to his disciples, "Truly, I say to you, it will be hard for a rich man to enter the kingdom of heaven. Again I tell you, it is easier for a camel to go through the eye of a needle than for a rich man to enter the kingdom of God." When the disciples heard this they were greatly astonished, saying, "Who then can be saved?" But Jesus looked at them and said to them, "With men this is impossible, but with God all things are possible." [RSV]

**ΙΕΡΕΥΣ**

Εἰρήνη σοι τῷ εὐαγγελιζομένῳ καὶ παντὶ τῷ λαῷ.

**PRIEST**

Peace be with you.

**ΧΟΡΟΣ**

Δόξα σοι, Κύριε, δόξα σοι.

**CHOIR**

Glory to You, O Lord, glory to You.

## ΤΟ ΚΗΡΥΓΜΑ

*(Κατὰ τὴν ἀρχαιοτάτην παράδοσιν, τὸ κήρυγμα τοῦ θείου λόγου ἐγίνετο εὐθὺς μετὰ τὰ ἀναγνώσματα.)*

## THE SERMON

*(According to ancient tradition, the sermon was delivered following the readings.)*

---

*(Σήμερα ἐπικρατεῖ ἡ συνήθεια νὰ παραλείπονται ἡ ἐκτενής, ἡ δέησις ὑπὲρ τῶν κατηχουμένων, καὶ ἡ α´ εὐχὴ τῶν πιστῶν.)*

*(Currently in the GOA, the litanies of Supplication and for the Catechumens and the First Prayer of the Faithful are omitted.)*

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

ΕΥΧΗ ΤΩΝ ΠΙΣΤΩΝ Β΄

Πάλιν καὶ πολλάκις σοὶ προσπίπτομεν καὶ σοῦ δεόμεθα, ἀγαθὲ καὶ φιλάνθρωπε, ὅπως, ἐπιβλέψας ἐπὶ τὴν δέησιν ἡμῶν, καθαρίσῃς ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος καὶ δῴης ἡμῖν ἀνένοχον καὶ ἀκατάκριτον τὴν παράστασιν τοῦ ἁγίου σου θυσιαστηρίου. Χάρισαι δέ, ὁ Θεός, καὶ τοῖς συνευχομένοις ἡμῖν προκοπὴν βίου καὶ πίστεως καὶ συνέσεως πνευματικῆς· δὸς αὐτοῖς πάντοτε, μετὰ φόβου καὶ ἀγάπης λατρεύειν σοι, ἀνενόχως καὶ ἀκατακρίτως μετέχειν τῶν ἁγίων σου μυστηρίων καὶ τῆς ἐπουρανίου σου βασιλείας ἀξιωθῆναι.

**PRIEST** *(in a low voice)*

THE SECOND PRAYER OF THE FAITHFUL

Again and countless times we fall down before You, and we implore You, O Good One, Who loves mankind: That You, having regarded our prayer, may cleanse our souls and bodies from every defilement of flesh and spirit, and grant to us to stand before Your holy Altar of sacrifice, free of guilt and condemnation. Grant also, O God, to those who pray with us, progress in life, faith, and spiritual understanding. Grant that they always worship You with awe and love, partake of Your Holy Mysteries without guilt or condemnation, and be deemed worthy of Your celestial Kingdom.

**ΙΕΡΕΥΣ**

Ὅπως ὑπό τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*( Ἀμήν. )*

**PRIEST**

That, ever guarded by Your might, we may ascribe glory to You, to the Father and to the Son and to the Holy Spirit, now and forever and to the ages of ages.

*( Amen. )*

## Η ΜΕΓΑΛΗ ΕΙΣΟΔΟΣ

**ΧΟΡΟΣ**

### Τὸ Χερουβικόν.

Οἱ τὰ Χερουβεὶμ μυστικῶς εἰκονίζοντες καὶ τῇ ζωοποιῷ Τριάδι τὸν τρισάγιον ὕμνον προσᾴδοντες, πᾶσαν νῦν βιοτικὴν ἀποθώμεθα μέριμναν. Ὡς τὸν Βασιλέα τῶν ὅλων ὑποδεξόμενοι.

## THE GREAT ENTRANCE

**CHOIR**

### The Cherubic Hymn.

Let us, who mystically represent the Cherubim and who sing the thrice-holy hymn to the life-creating Trinity, now lay aside every worldly care. So that we may receive the King of all. [GOA]

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

ΕΥΧΗ ΤΟΥ ΧΕΡΟΥΒΙΚΟΥ ΥΜΝΟΥ

Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς προσέρχεσθαι ἢ προσεγγίζειν ἢ λειτουργεῖν σοι, βασιλεῦ τῆς δόξης· τὸ γὰρ διακονεῖν σοι μέγα καὶ φοβερὸν καὶ αὐταῖς ταῖς ἐπουρανίαις δυνάμεσιν. Ἀλλ' ὅμως διὰ τὴν ἄφατον καὶ ἀμέτρητόν σου φιλανθρωπίαν ἀτρέπτως καὶ ἀναλλοιώτως γέγονας ἄνθρωπος καὶ ἀρχιερεὺς ἡμῶν ἐχρημάτισας καὶ τῆς λειτουργικῆς ταύτης καὶ ἀναιμάκτου θυσίας τὴν ἱερουργίαν παρέδωκας ἡμῖν ὡς Δεσπότης τῶν ἁπάντων. Σὺ γὰρ μόνος, Κύριε ὁ Θεὸς ἡμῶν, δεσπόζεις τῶν ἐπουρανίων καὶ τῶν ἐπιγείων, ὁ ἐπὶ θρόνου Χερουβικοῦ ἐποχούμενος, ὁ τῶν Σεραφεὶμ Κύριος

**PRIEST** *(in a low voice)*

THE PRAYER OF THE CHERUBIC HYMN

No one bound by carnal desires and pleasures is worthy to approach, draw near, or minister to You, the King of Glory. For to serve You is great and awesome even for the heavenly powers. Yet, because of Your ineffable and immeasurable love for mankind, You impassibly and immutably became man. You, as the Master of all, became our high priest and delivered unto us the sacred service of this liturgical sacrifice without the shedding of blood. Indeed, Lord our God, You alone reign over the celestial and the terrestrial; borne aloft on the cherubic throne, Lord of the Seraphim and King of Israel, the only holy and resting

καὶ βασιλεὺς τοῦ Ἰσραήλ, ὁ μόνος ἅγιος καὶ ἐν ἁγίοις ἀναπαυόμενος. Σὲ τοίνυν δυσωπῶ τὸν μόνον ἀγαθὸν καὶ εὐήκοον· ἐπίβλεψον ἐπ' ἐμὲ τὸν ἁμαρτωλὸν καὶ ἀχρεῖον δοῦλόν σου καὶ καθάρισόν μου τὴν ψυχὴν καὶ τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς· καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ ἁγίου σου Πνεύματος, ἐνδεδυμένον τὴν τῆς ἱερατείας χάριν, παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ τραπέζῃ καὶ ἱερουργῆσαι τὸ ἅγιον καὶ ἄχραντόν σου Σῶμα καὶ τὸ τίμιον Αἷμα. Σοὶ γὰρ προσέρχομαι κλίνας τὸν ἐμαυτοῦ αὐχένα καὶ δέομαί σου· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, μηδὲ ἀποδοκιμάσῃς με ἐκ παίδων σου, ἀλλ' ἀξίωσον προσενεχθῆναί σοι ὑπ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου τὰ δῶρα ταῦτα. Σὺ γὰρ εἶ ὁ προσφέρων καὶ προσφερόμενος καὶ προσδεχόμενος καὶ διαδιδόμενος, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

among the holy ones. I now beseech You, Who alone are good and inclined to hear: Look down upon me, Your sinful and unprofitable servant, and cleanse my soul and heart of a wicked conscience; and enable me, by the power of Your Holy Spirit, clothed with the grace of the priesthood, to stand before Your holy Table and celebrate the Mystery of Your holy and pure Body and Your precious Blood. I come before You with my head bowed, and I implore You: Turn not Your face away from me, nor reject me from among Your children, but make me, Your sinful and unworthy servant, worthy to offer these gifts to You. For You are the One Who both offers and is offered, the One Who is received and is distributed, O Christ our God, and to You we offer up glory, with Your Father, Who is without beginning, and Your all-holy and good and life-creating Spirit, now and forever and to the ages of ages. Amen.

Οἱ τὰ Χερουβεὶμ μυστικῶς εἰκονίζοντες καὶ τῇ ζωοποιῷ Τριάδι τὸν τρισάγιον ὕμνον προσᾴδοντες, πᾶσαν νῦν βιοτικὴν ἀποθώμεθα μέριμναν. * Ὡς τὸν Βασιλέα τῶν ὅλων ὑποδεξόμενοι. Ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν. Ἀλληλούϊα. Ἀλληλούϊα. Ἀλληλούϊα.

Let us, who mystically represent the Cherubim and who sing the thrice-holy hymn to the life-creating Trinity, now lay aside every worldly care. * So that we may receive the King of all. Who is invisibly escorted by the angelic hosts. Alleluia. Alleluia. Alleluia.

**ΔΙΑΚΟΝΟΣ**

Πάντων ὑμῶν μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**DEACON**

May the Lord God remember all of you in His Kingdom always, now and forever and to the ages of ages.

**ΧΟΡΟΣ**

Ἀμήν.

Ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν. Ἀλληλούϊα. Ἀλληλούϊα. Ἀλληλούϊα.

**CHOIR**

Amen.

Who is invisibly escorted by the angelic hosts. Alleluia. Alleluia. Alleluia. [GOA]

## ΤΑ ΠΛΗΡΩΤΙΚΑ

**ΔΙΑΚΟΝΟΣ**

Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

**ΧΟΡΟΣ**

*( Κύριε, ἐλέησον. )*

Ὑπὲρ τῶν προτεθέντων τιμίων δώρων, τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

## THE LITANY OF COMPLETION

**DEACON**

Let us complete our prayer to the Lord.

**CHOIR**

*( Lord, have mercy. )*

For the precious Gifts here presented, let us pray to the Lord.

*( Lord, have mercy. )*

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

*( Κύριε, ἐλέησον. )*

Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

**ΧΟΡΟΣ**

*( Παράσχου, Κύριε. )*

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

*( Παράσχου, Κύριε. )*

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

*( Παράσχου, Κύριε. )*

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

*( Παράσχου, Κύριε. )*

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

*( Παράσχου, Κύριε. )*

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν

For this holy house and for those who enter it with faith, reverence, and the fear of God, let us pray to the Lord.

*( Lord, have mercy. )*

For our deliverance from all affliction, wrath, danger, and distress, let us pray to the Lord.

*( Lord, have mercy. )*

Help us, save us, have mercy on us, and protect us, O God, by Your grace.

*( Lord, have mercy. )*

That the whole day may be perfect, holy, peaceful, and sinless, let us ask the Lord.

**CHOIR**

*( Grant this, O Lord. )*

For an angel of peace, a faithful guide, a guardian of our souls and bodies, let us ask the Lord.

*( Grant this, O Lord. )*

For pardon and remission of our sins and transgressions, let us ask the Lord.

*( Grant this, O Lord. )*

For that which is good and beneficial for our souls, and for peace for the world, let us ask the Lord.

*( Grant this, O Lord. )*

That we may complete the remaining time of our life in peace and repentance, let us ask the Lord.

*( Grant this, O Lord. )*

And let us ask for a Christian end to our life, peaceful, without shame and suffering,

ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

*( Παράσχου, Κύριε. )*

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*( Σοί, Κύριε. )*

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

Η ΕΥΧΗ ΤΗΣ ΠΡΟΣΚΟΜΙΔΗΣ

Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ μόνος ἅγιος, ὁ δεχόμενος θυσίαν αἰνέσεως παρὰ τῶν ἐπικαλουμένων σε ἐν ὅλῃ καρδίᾳ, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὴν δέησιν καὶ προσάγαγε τῷ ἁγίῳ σου θυσιαστηρίῳ· καὶ ἱκάνωσον ἡμᾶς προσενεγκεῖν σοι δῶρά τε καὶ θυσίας πνευματικὰς ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. Καὶ καταξίωσον ἡμᾶς εὑρεῖν χάριν ἐνώπιόν σου, τοῦ γενέσθαι σοι εὐπρόσδεκτον τὴν θυσίαν ἡμῶν καὶ ἐπισκηνῶσαι τὸ Πνεῦμα τῆς χάριτός σου τὸ ἀγαθὸν ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα καὶ ἐπὶ πάντα τὸν λαόν σου.

**ΙΕΡΕΥΣ**

Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ Παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**ΧΟΡΟΣ**

Ἀμήν.

**ΙΕΡΕΥΣ**

Εἰρήνη πᾶσι.

**ΧΟΡΟΣ**

Καὶ τῷ πνεύματί σου.

and for a good defense before the awesome judgment seat of Christ.

*( Grant this, O Lord. )*

Commemorating our most holy, pure, blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

*( To You, O Lord. )*

**PRIEST** *(in a low voice)*

THE OFFERTORY PRAYER

Lord God Almighty, You alone are holy. You accept the sacrifice of praise from those who call upon You with their whole heart, even so, accept from us sinners our supplication, and bring it to Your holy Altar of sacrifice. Enable us to offer You gifts and spiritual sacrifices for our own sins and the failings of Your people. Deem us worthy to find grace in Your sight, that our sacrifice may be well pleasing to You, and that the good Spirit of Your grace may rest upon us and upon these gifts presented and upon all Your people.

**PRIEST**

Through the mercies of Your only-begotten Son, with Whom You are blessed, together with Your all-holy, good, and life-creating Spirit, now and forever and to the ages of ages.

**CHOIR**

Amen.

**PRIEST**

Peace be with all.

**CHOIR**

And with your spirit.

**ΔΙΑΚΟΝΟΣ**

Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν.

**ΧΟΡΟΣ**

Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

*Ἤ, ἐν συλλειτούργῳ, τὸ ἑξῆς·*

Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου. Κύριος στερέωμά μου καὶ καταφυγή μου καὶ ῥύστης μου.

**ΔΙΑΚΟΝΟΣ**

Τὰς θύρας, τὰς θύρας· ἐν σοφίᾳ πρόσχωμεν.

**ΛΑΟΣ**

Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, Παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι’ οὗ τὰ πάντα ἐγένετο. Τὸν δι’ ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα. Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα καὶ ταφέντα. Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ, κατὰ τὰς Γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ Κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον,

**DEACON**

Let us love one another, that with oneness of mind we may confess:

**CHOIR**

Father, Son, and Holy Spirit: Trinity, one in essence and undivided. [GOA]

*Or, for concelebrations:*

I will love You, O Lord, my strength. The Lord is my foundation, my refuge, my deliverer. [SAAS]

**DEACON**

The doors! The doors! In wisdom, let us be attentive!

**PEOPLE**

THE SYMBOL OF OUR FAITH

I believe in one God, Father Almighty, Creator of heaven and earth, and of all things visible and invisible. And in one Lord Jesus Christ, the only-begotten Son of God, begotten of the Father before all ages; Light of Light, true God of true God, begotten, not created, of one essence with the Father, through Whom all things were made. Who for us men and for our salvation came down from heaven and was incarnate of the Holy Spirit and the Virgin Mary and became man. He was crucified for us under Pontius Pilate, and suffered and was buried; And He rose on the third day, according to the Scriptures. He ascended into heaven and is seated at the right hand of the Father; And He will come again with glory to judge the living and the dead. His kingdom shall have no end. And in the Holy Spirit, the Lord, the Creator of life, Who proceeds from the Father, Who together with the Father and the Son is worshiped and glorified, Who

τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν. Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν. Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος.

spoke through the prophets. In one, holy, catholic, and apostolic Church. I confess one baptism for the forgiveness of sins. I look for the resurrection of the dead, and the life of the age to come. [GOA]

**ΧΟΡΟΣ**

Ἀμήν.

**CHOIR**

Amen.

## Η ΑΓΙΑ ΑΝΑΦΟΡΑ

## THE HOLY ANAPHORA

**ΔΙΑΚΟΝΟΣ**

Στῶμεν καλῶς· στῶμεν μετὰ φόβου· πρόσχωμεν τὴν ἁγίαν ἀναφορὰν ἐν εἰρήνῃ προσφέρειν.

**DEACON**

Let us stand aright! Let us stand in awe! Let us be attentive, that we may present the Holy Offering in peace.

**ΧΟΡΟΣ**

Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως.

**CHOIR**

A mercy of peace, a sacrifice of praise.

**ΙΕΡΕΥΣ**

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος εἴη μετὰ πάντων ὑμῶν.

**PRIEST**

The grace of our Lord Jesus Christ, and the love of God and Father, and the communion of the Holy Spirit, be with you all.

**ΧΟΡΟΣ**

Καὶ μετὰ τοῦ πνεύματός σου.

**CHOIR**

And with your spirit.

**ΙΕΡΕΥΣ**

Ἄνω σχῶμεν τὰς καρδίας.

**PRIEST**

Let us lift up our hearts.

**ΧΟΡΟΣ**

Ἔχομεν πρὸς τὸν Κύριον.

**CHOIR**

We lift them up to the Lord.

**ΙΕΡΕΥΣ**

Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

**PRIEST**

Let us give thanks to the Lord.

**ΧΟΡΟΣ**

Ἄξιον καὶ δίκαιον.

**CHOIR**

It is proper and right.

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

Ἄξιον καὶ δίκαιον σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ αἰνεῖν, σοὶ εὐχαριστεῖν, σὲ προσκυνεῖν ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου. Σὺ γὰρ εἶ Θεὸς ἀνέκφραστος, ἀπερινόητος, ἀόρατος,

**PRIEST** *(in a low voice)*

It is proper and right to hymn You, to bless You, to praise You, to give thanks to You, and to worship You in every place of Your dominion. For You, O God, are

ἀκατάληπτος, ἀεὶ ὤν, ὡσαύτως ὤν· σὺ καὶ ὁ μονογενής σου Υἱός, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον. Σὺ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παρήγαγες καὶ παραπεσόντας ἀνέστησας πάλιν καὶ οὐκ ἀπέστης πάντα ποιῶν, ἕως ἡμᾶς εἰς τὸν οὐρανὸν ἀνήγαγες καὶ τὴν βασιλείαν σου ἐχαρίσω τὴν μέλλουσαν. Ὑπὲρ τούτων ἁπάντων εὐχαριστοῦμέν σοι καὶ τῷ μονογενεῖ σου Υἱῷ καὶ τῷ Πνεύματί σου τῷ ἁγίῳ· ὑπὲρ πάντων, ὧν ἴσμεν καὶ ὧν οὐκ ἴσμεν, τῶν φανερῶν καὶ ἀφανῶν εὐεργεσιῶν τῶν εἰς ἡμᾶς γεγενημένων. Εὐχαριστοῦμέν σοι καὶ ὑπὲρ τῆς λειτουργίας ταύτης, ἥν ἐκ τῶν χειρῶν ἡμῶν δέξασθαι κατηξίωσας, καίτοι σοι παρεστήκασι χιλιάδες ἀρχαγγέλων καὶ μυριάδες ἀγγέλων, τὰ Χερουβεὶμ καὶ τὰ Σεραφείμ, ἑξαπτέρυγα, πολυόμματα, μετάρσια, πτερωτά,

ineffable, inconceivable, invisible, incomprehensible, existing forever, forever the same, You and Your only-begotten Son and Your Holy Spirit. You brought us out of nothing into being, and when we had fallen away, You raised us up again. You left nothing undone until you had led us up to heaven and granted us Your Kingdom, which is to come. For all these things, we thank You and Your only-begotten Son and Your Holy Spirit: for all things we know and do not know, for blessings manifest and hidden that have been bestowed on us. We thank You also for this Liturgy, which You have deigned to receive from our hands, even though thousands of archangels and tens of thousands of angels stand around You, the Cherubim and Seraphim, six-winged, many eyed, soaring aloft upon their wings,

**ΙΕΡΕΥΣ**

Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα καὶ λέγοντα·

**PRIEST**

Singing the triumphal hymn, exclaiming, proclaiming, and saying…

**ΧΟΡΟΣ**

Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαώθ· πλήρης, ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου. Ὡσαννά, ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Ὡσαννά, ἐν τοῖς ὑψίστοις.

**CHOIR**

Holy, holy, holy, Lord Sabaoth, heaven and earth are filled with Your glory. Hosanna in the highest. Blessed is He Who comes in the name of the Lord. Hosanna in the highest. [GOA]

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

Μετὰ τούτων καὶ ἡμεῖς τῶν μακαρίων δυνάμεων, Δέσποτα φιλάνθρωπε, βοῶμεν καὶ λέγομεν· Ἅγιος εἶ καὶ πανάγιος, σὺ καὶ ὁ μονογενής σου Υἱὸς καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον. Ἅγιος εἶ καὶ πανάγιος καὶ μεγαλοπρεπὴς ἡ δόξα σου· ὃς τὸν κόσμον σου οὕτως ἠγάπησας, ὥστε τὸν Υἱόν σου τὸν μονογενῆ δοῦναι, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόλυται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Ὃς ἐλθὼν καὶ πᾶσαν τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πληρώσας, τῇ νυκτὶ ᾗ παρεδίδοτο, μᾶλλον δὲ ἑαυτὸν παρεδίδου ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐν ταῖς ἁγίαις αὐτοῦ καὶ ἀχράντοις καὶ ἀμωμήτοις χερσίν, εὐχαριστήσας καὶ εὐλογήσας, ἁγιάσας, κλάσας, ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, εἰπών·

**PRIEST** *(in a low voice)*

Together with these blessed powers, Master, Who loves mankind, we also exclaim and say: Holy are You and most holy, You and Your onlybegotten Son and Your Holy Spirit. Holy are You and most holy, and sublime is Your glory. You so loved Your world that You gave Your only-begotten Son so that everyone who believes in Him should not perish, but have eternal life. When He had come and fulfilled for our sake the entire plan of salvation, on the night in which He was delivered up, or rather when He delivered Himself up for the life of the world, He took bread in His holy, pure, and blameless hands, and, giving thanks and blessing, He hallowed and broke it, and gave it to His holy disciples and apostles, saying:

**ΙΕΡΕΥΣ**

Λάβετε, φάγετε· τοῦτό μού ἐστι τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

**PRIEST**

Take, eat, this is My Body, which is broken for you for the remission of sins.

**ΧΟΡΟΣ**

Ἀμήν.

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

Ὁμοίως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων·

**ΙΕΡΕΥΣ**

Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό ἐστι τὸ αἷμά μου, τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

**ΧΟΡΟΣ**

Ἀμήν.

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

Μεμνημένοι τοίνυν τῆς σωτηρίου ταύτης ἐντολῆς καὶ πάντων τῶν ὑπὲρ ἡμῶν γεγενημένων, τοῦ σταυροῦ, τοῦ τάφου, τῆς τριημέρου ἀναστάσεως, τῆς εἰς οὐρανοὺς ἀναβάσεως, τῆς ἐκ δεξιῶν καθέδρας, τῆς δευτέρας καὶ ἐνδόξου πάλιν παρουσίας,

**ΙΕΡΕΥΣ**

Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέρομεν κατὰ πάντα καὶ διὰ πάντα.

**ΧΟΡΟΣ**

Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν, Κύριε, καὶ δεόμεθά σου, ὁ Θεὸς ἡμῶν.

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον λατρείαν, καὶ παρακαλοῦμέν σε καὶ δεόμεθα καὶ ἱκετεύομεν· κατάπεμψον τὸ Πνεῦμά σου τὸ ἅγιον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα.

Καὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον τίμιον Σῶμα τοῦ Χριστοῦ σου.

*( Ἀμήν. )*

Τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ τίμιον Αἷμα τοῦ Χριστοῦ σου.

*( Ἀμήν. )*

Μεταβαλὼν τῷ Πνεύματί σου τῷ ἁγίῳ.

**CHOIR**

Amen.

**PRIEST** *(in a low voice)*

Likewise, after partaking of the supper, He took the cup, saying,

**PRIEST**

Drink of this, all of you; this is My Blood of the new covenant, which is shed for you and for many for the remission of sins.

**CHOIR**

Amen.

**PRIEST** *(in a low voice)*

Remembering, therefore, this saving commandment and all that has been done for our sake: the Cross, the tomb, the Resurrection on the third day, the Ascension into heaven, the enthronement at the right hand, and the second and glorious coming again.

**PRIEST**

Your own of Your own we offer to You, in all and for all.

**CHOIR**

We praise You, we bless You, we give thanks to You, and we pray to You, Lord our God. [GOA]

**PRIEST** *(in a low voice)*

Once again we offer to You this spiritual worship without the shedding of blood, and we beseech and pray and entreat You: Send down Your Holy Spirit upon us and upon the gifts here presented,

And make this Bread the precious Body of Your Christ.

*( Amen. )*

And that which is in this Cup, the precious Blood of Your Christ.

*( Amen. )*

Changing them by Your Holy Spirit.

*( Ἀμήν. Ἀμήν. Ἀμήν. )*

Ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν εἰς νῆψιν ψυχῆς, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ ἁγίου σου Πνεύματος, εἰς Βασιλείας οὐρανῶν πλήρωμα, εἰς παῤῥησίαν τὴν πρὸς σέ, μὴ εἰς κρῖμα ἢ εἰς κατάκριμα. Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῶν ἐν πίστει ἀναπαυσαμένων προπατόρων, πατέρων, πατριαρχῶν, προφητῶν, ἀποστόλων, κηρύκων, εὐαγγελιστῶν, μαρτύρων, ὁμολογητῶν, ἐγκρατευτῶν καὶ παντὸς πνεύματος δικαίου ἐν πίστει τετελειωμένου.

*( Amen. Amen. Amen. )*

So that they may be for those who partake of them for vigilance of soul, remission of sins, communion of Your Holy Spirit, fullness of the Kingdom of Heaven, boldness before You, not for judgment or condemnation. Again, we offer You this spiritual worship for those who have reposed in the faith: forefathers, fathers, patriarchs, prophets, apostles, preachers, evangelists, martyrs, confessors, ascetics, and for every righteous spirit made perfect in faith,

**ΙΕΡΕΥΣ**

Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

**PRIEST**

Especially for our most holy, pure, blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary.

**ΧΟΡΟΣ**

**Ὕμνος εἰς τὴν Θεοτόκον.**

Ἄξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

**CHOIR**

**Hymn to the Theotokos.**

It is truly right to bless you, Theotokos, ever blessed, most pure, and Mother of our God. More honorable than the Cherubim, and beyond compare more glorious than the Seraphim, without corruption you gave birth to God the Logos. We magnify you, the true Theotokos. [GOA]

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

Τοῦ ἁγίου Ἰωάννου, προφήτου, προδρόμου καὶ βαπτιστοῦ· τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων ἀποστόλων· τοῦ ἁγίου ἐνδόξου ἀποστόλου Στάχυος, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς, ὁ Θεός. Καὶ μνήσθητι πάντων τῶν κεκοιμημένων ἐπ' ἐλπίδι ἀναστάσεως, ζωῆς αἰωνίου [ὧδε λέγονται τὰ ὀνόματα τῶν κεκοιμημένων] καὶ ἀνάπαυσον αὐτούς, ὁ Θεὸς ἡμῶν, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου. Ἔτι παρακαλοῦμέν σε· μνήσθητι, Κύριε, πάσης ἐπισκοπῆς ὀρθοδόξων, τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας, παντὸς τοῦ πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας καὶ παντὸς ἱερατικοῦ καὶ μοναχικοῦ τάγματος. Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῆς οἰκουμένης· ὑπὲρ τῆς ἁγίας σου καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας· ὑπὲρ τῶν ἐν ἁγνείᾳ καὶ σεμνῇ πολιτείᾳ διαγόντων· ὑπὲρ τῶν πιστοτάτων καὶ φιλοχρίστων

**PRIEST** *(in a low voice)*

For Saint John the prophet, forerunner, and Baptist; for the holy, glorious, and most praiseworthy apostles; for Saint(s) (Name), whose memory we celebrate; and for all Your saints, through whose supplications, visit us, O God. And remember all who have fallen asleep in the hope of the resurrection to life eternal (here the Priest commemorates by name those departed whom he wishes). Grant them rest, O our God, where the light of Your countenance keeps watch. Again we beseech You, Lord, remember all Orthodox bishops who rightly teach the word of Your truth, the presbyterate, the diaconate in Christ, and every priestly and monastic order. Again we offer You this spiritual worship for the whole world, for the holy, catholic, and apostolic Church, and for those living pure and reverent lives. For civil authorities and our armed forces, grant that they may govern

ἡμῶν βασιλέων, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν. Δὸς αὐτοῖς, Κύριε, εἰρηνικὸν τὸ βασίλειον, ἵνα καὶ ἡμεῖς ἐν τῇ γαλήνῃ αὐτῶν ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι.

in peace, Lord, so that in their tranquility we, too, may live calm and serene lives, in all piety and virtue.

**ΙΕΡΕΥΣ**

Ἐν πρώτοις, μνήσθητι, Κύριε, τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος): ὃν χάρισαι ταῖς ἁγίαις σου Ἐκκλησίαις ἐν εἰρήνῃ, σῷον, ἔντιμον, ὑγιᾶ, μακροημερεύοντα καὶ ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας.

**PRIEST**

Among the first remember, Lord, our Archbishop (name): grant him to Your holy churches in peace, safety, honor, and health, unto length of days, rightly teaching the word of Your truth.

**ΧΟΡΟΣ**

Κύριε, ἐλέησον.

**CHOIR**

Lord, have mercy.

**ΔΙΑΚΟΝΟΣ**

Καὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει, καὶ πάντων καὶ πασῶν.

**DEACON**

And remember those whom each one of us has in mind, and all the people.

**ΧΟΡΟΣ**

*(Σήμερα ἐπικρατεῖ ἡ συνήθεια νὰ λέγεται·)*

Κύριε, ἐλέησον.

**CHOIR**

*(Currently in the GOA, the response is:)*

Lord, have mercy.

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

Μνήσθητι, Κύριε, τῆς Ἁγίας σου Μεγάλης Ἐκκλησίας, τῆς Ἱερᾶς ἡμῶν Ἀρχιεπισκοπῆς, τῆς πόλεως ταύτης, ἐν ᾗ παροικοῦμεν καὶ πάσης πόλεως καὶ χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς. Μνήσθητι, Κύριε, πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου Ἐκκλησίαις καὶ μεμνημένων τῶν πενήτων, καὶ ἐπὶ πάντας ἡμᾶς τὰ ἐλέη σου ἐξαπόστειλον.

**PRIEST** *(in a low voice)*

Remember, Lord, Your Holy Great Church, our Sacred Archdiocese, this city in which we live, and every city and land, and the faithful who live in them. Remember, Lord, those who travel by land, sea, and air; the sick; the suffering; the captives; and their salvation. Remember those who bear fruit and do good works in Your holy churches and those who are mindful of the poor, and upon us all send forth Your mercies.

**ΙΕΡΕΥΣ**

Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζειν καὶ ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**PRIEST**

And grant that with one voice and one heart we may glorify and praise Your most honorable and majestic name, of the Father and of the Son and of the Holy Spirit, now and forever and to the ages of ages.

**ΧΟΡΟΣ**

Ἀμήν.

**CHOIR**

Amen.

**ΙΕΡΕΥΣ**

Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν.

**ΧΟΡΟΣ**

Καὶ μετὰ τοῦ πνεύματός σου.

**ΔΙΑΚΟΝΟΣ**

Πάντων τῶν ἁγίων μνημονεύσαντες, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

**ΧΟΡΟΣ**

*( Κύριε, ἐλέησον. )*

Ὑπὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων τιμίων δώρων, τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερὸν αὐτοῦ θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν καὶ τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος, δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

*(Αἱ δεήσεις αὗται οὐχ ὑπῆρχον ἐξ ἀρχῆς εἰς τὸ σημεῖον τοῦτο· παρεισήχθησαν δὲ πιθανώτατα κατ' ἐπίδρασιν τῆς Θ. Λειτουργίας τῶν Προηγιασμένων.)*

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

*( Κύριε, ἐλέησον. )*

Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

*( Παράσχου, Κύριε. )*

**PRIEST**

And the mercies of our great God and Savior, Jesus Christ, be with you all.

**CHOIR**

And with your spirit.

**DEACON**

Having commemorated all the saints, again and again, in peace, let us pray to the Lord.

**CHOIR**

*( Lord, have mercy. )*

For the precious Gifts here presented and consecrated, let us pray to the Lord.

*( Lord, have mercy. )*

That our God Who loves mankind, having accepted them at His holy and celestial and mystical altar as an offering of spiritual fragrance, may in return send down upon us the divine grace and the gift of the Holy Spirit, let us pray.

*( Lord, have mercy. )*

*(These petitions were not originally included. They were most probably added owing to the influence of the Liturgy of the Presanctified Gifts.)*

For our deliverance from all affliction, wrath, danger, and distress, let us pray to the Lord.

*( Lord, have mercy. )*

Help us, save us, have mercy on us, and protect us, O God, by Your grace.

*( Lord, have mercy. )*

That the whole day may be perfect, holy, peaceful, and sinless, let us ask the Lord.

*( Grant this, O Lord. )*

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

*( Παράσχου, Κύριε. )*

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

*( Παράσχου, Κύριε. )*

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

*( Παράσχου, Κύριε. )*

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

*( Παράσχου, Κύριε. )*

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

*( Παράσχου, Κύριε. )*

Τὴν ἑνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν τοῦ Ἁγίου Πνεύματος αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*( Σοί, Κύριε. )*

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

Σοὶ παρακατατιθέμεθα τὴν ζωὴν ἡμῶν ἅπασαν καὶ τὴν ἐλπίδα, Δέσποτα φιλάνθρωπε, καὶ παρακαλοῦμέν σε καὶ δεόμεθα καὶ ἱκετεύομεν· καταξίωσον ἡμᾶς μεταλαβεῖν τῶν ἐπουρανίων σου καὶ φρικτῶν μυστηρίων ταύτης τῆς ἱερᾶς καὶ πνευματικῆς τραπέζης μετὰ καθαροῦ συνειδότος, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς συγχώρησιν πλημμελημάτων, εἰς Πνεύματος ἁγίου κοινωνίαν, εἰς βασιλείας οὐρανῶν κληρονομίαν, εἰς παῤῥησίαν τὴν πρὸς σέ, μὴ εἰς κρῖμα ἢ εἰς κατάκριμα.

**ΙΕΡΕΥΣ**

Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παῤῥησίας ἀκατακρίτως τολμᾶν ἐπικαλεῖσθαι σὲ τὸν ἐπουράνιον Θεὸν Πατέρα καὶ λέγειν·

For an angel of peace, a faithful guide, a guardian of our souls and bodies, let us ask the Lord.

*( Grant this, O Lord. )*

For pardon and remission of our sins and transgressions, let us ask the Lord.

*( Grant this, O Lord. )*

For that which is good and beneficial for our souls, and for peace for the world, let us ask the Lord.

*( Grant this, O Lord. )*

That we may complete the remaining time of our life in peace and repentance, let us ask the Lord.

*( Grant this, O Lord. )*

And let us ask for a Christian end to our life, peaceful, without shame and suffering, and for a good defense before the awesome judgment seat of Christ.

*( Grant this, O Lord. )*

Having asked for the unity of the faith and for the communion of the Holy Spirit, let us commend ourselves and one another and our whole life to Christ our God.

*( To You, O Lord. )*

**PRIEST** *(in a low voice)*

We entrust to You, loving Master, our whole life and hope, and we beseech, pray, and implore You: Grant us to partake of Your heavenly and awesome Mysteries from this sacred and spiritual table with a clear conscience for the remission of sins, the forgiveness of transgressions, the communion of the Holy Spirit, the inheritance of the Kingdom of Heaven, and boldness before You, not unto judgment or condemnation.

**PRIEST**

And grant us, Master, with boldness and without condemnation, to dare call You, the heavenly God, Father, and to say:

**ΛΑΟΣ**

**ΚΥΡΙΑΚΗ ΠΡΟΣΕΥΧΗ**

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου. Ἐλθέτω ἡ βασιλεία σου. Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

**PEOPLE**

**THE LORD'S PRAYER**

Our Father, who art in heaven, hallowed be Thy name. Thy kingdom come, Thy will be done, on earth as it is in heaven. Give us this day our daily bread; and forgive us our trespasses, as we forgive those who trespass against us. And lead us not into temptation, but deliver us from evil. [GOA]

**ΙΕΡΕΥΣ**

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*( Ἀμήν. )*

**PRIEST**

For Yours is the kingdom and the power and the glory, of the Father and the Son and the Holy Spirit, now and forever and to ages of ages.

*( Amen. )*

**ΙΕΡΕΥΣ**

Εἰρήνη πᾶσι.

*( Καὶ τῷ πνεύματί σου. )*

**PRIEST**

Peace be with all.

*( And with your spirit. )*

**ΔΙΑΚΟΝΟΣ**

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

*( Σοί, Κύριε. )*

**DEACON**

Let us bow our heads to the Lord.

*( To You, O Lord. )*

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

Εὐχαριστοῦμέν σοι, βασιλεῦ ἀόρατε, ὁ τῇ ἀμετρήτῳ σου δυνάμει τὰ πάντα δημιούργησας καὶ τῷ πλήθει τοῦ ἐλέους σου ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι τὰ πάντα παραγαγών. Αὐτός, Δέσποτα, οὐρανόθεν ἔπιδε ἐπὶ τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλάς· οὐ γὰρ ἔκλιναν σαρκὶ καὶ αἵματι, ἀλλὰ σοί, τῷ φοβερῷ Θεῷ. Σὺ οὖν, Δέσποτα, τὰ προκείμενα πᾶσιν ἡμῖν εἰς ἀγαθὸν ἐξομάλισον κατὰ τὴν ἑκάστου ἰδίαν χρείαν· τοῖς πλέουσι σύμπλευσον· τοῖς ὁδοιποροῦσι συνόδευσον· τοὺς νοσοῦντας ἴασαι, ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν.

**PRIEST** *(in a low voice)*

We give thanks to You, invisible King, Who by Your boundless power fashioned the universe, and in the multitude of Your mercy brought all things from nothing into being. Look down from heaven, O Master, upon those who have bowed their heads before You, for they have not bowed before flesh and blood, but before You, the awesome God. Therefore, O Master, make smooth and beneficial for us all, whatever lies ahead, according to the need of each: Sail with those who sail, travel with those who travel, heal the sick, Physician of our souls and bodies.

**ΙΕΡΕΥΣ**

Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ’ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου

**PRIEST**

Through the grace, compassion, and love for mankind of Your only-begotten Son, with whom You are blessed, together with Your all-

Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*( Ἀμήν. )*

## Η ΘΕΙΑ ΚΟΙΝΩΝΙΑ

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

Πρόσχες, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου, καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ Πατρὶ συγκαθήμενος καὶ ὧδε ἡμῖν ἀοράτως συνών· καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου Σώματός σου καὶ τοῦ τιμίου Αἵματος, καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ.

**ΔΙΑΚΟΝΟΣ**

Πρόσχωμεν.

**ΙΕΡΕΥΣ**

Τὰ ἅγια τοῖς ἁγίοις.

**ΧΟΡΟΣ**

Εἷς ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

**ΛΑΟΣ**

ΕΥΧΑΙ ΠΡΟ ΤΗΣ ΘΕΙΑΣ ΚΟΙΝΩΝΙΑΣ

Πιστεύω, Κύριε, καὶ ὁμολογῶ, ὅτι σὺ εἶ ἀληθῶς ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ ἐλθὼν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. Ἔτι πιστεύω, ὅτι τοῦτο αὐτό ἐστι τὸ ἄχραντον Σῶμά σου καὶ τοῦτο αὐτό ἐστι τὸ τίμιον Αἷμά σου. Δέομαι οὖν σου· ἐλέησόν με καὶ συγχώρησόν μοι τὰ παραπτώματά μου, τὰ ἑκούσια καὶ τὰ ἀκούσια, τὰ ἐν λόγῳ, τὰ ἐν ἔργῳ, τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ· καὶ ἀξίωσόν με ἀκατακρίτως μετασχεῖν τῶν ἀχράντων σου μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον. Ἀμήν.

holy, good, and life-creating Spirit, now and forever and to the ages of ages.

*( Amen. )*

## THE HOLY COMMUNION

**PRIEST** *(in a low voice)*

Hearken, O Lord Jesus Christ our God, from Your holy dwelling place and from the throne of glory of Your Kingdom, and come to sanctify us, You Who are enthroned with the Father on high and are present among us invisibly here. And with Your mighty hand, grant Communion of Your most pure Body and precious Blood to us, and through us to all the people.

**DEACON**

Let us be attentive.

**PRIEST**

The Holy Gifts for the holy people of God.

**CHOIR**

One is Holy, one is Lord, Jesus Christ, to the glory of God the Father. Amen. [GOA]

**PEOPLE**

PRAYERS OF HOLY COMMUNION

*The selection and text of the following prayers may be different from what is used in your parish.*

I believe and confess, Lord, that You are truly the Christ, the Son of the living God, Who came into the world to save sinners, of whom I am the first. I also believe that this is truly Your pure Body and that this is truly Your precious Blood. Therefore, I pray to You, have mercy upon me, and forgive my transgressions, voluntary and involuntary, in word and deed, in knowledge or in ignorance. And make me worthy, without condemnation, to partake of Your pure Mysteries for the remission of sins and for eternal life. Amen.

Ἰδού, βαδίζω πρὸς θείαν Κοινωνίαν· Πλαστουργέ, μὴ φλέξῃς με τῇ μετουσίᾳ· Πῦρ γὰρ ὑπάρχεις τοὺς ἀναξίους φλέγον. Ἀλλ’ οὖν κάθαρον ἐκ πάσης με κηλῖδος.

Behold, I approach for Divine Communion. * O Maker, burn me not as I partake, * for You are fire consuming the unworthy. * But cleanse me from every stain.

Τοῦ Δείπνου σου τοῦ μυστικοῦ, σήμερον Υἱὲ Θεοῦ, κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ Μυστήριον εἴπω, οὐ φίλημά σοι δώσω, καθάπερ ὁ Ἰούδας, ἀλλ’ ὡς ὁ Λῃστὴς ὁμολογῶ σοι. Μνήσθητί μου Κύριε, [ὅταν ἔλθῃς] ἐν τῇ Βασιλείᾳ σου.

O Son of God, receive me today as a partaker of Your mystical supper. For I will not speak of the mystery to Your enemies, nor will I give You a kiss, as did Judas. But like the thief, I confess to You: Remember me, Lord, in Your Kingdom.

Θεουργὸν Αἷμα φρίξον, ἄνθρωπε βλέπων· Ἄνθραξ γάρ ἐστι τοὺς ἀναξίους φλέγων· Θεοῦ τὸ Σῶμα, καὶ θεοῖ με, καὶ τρέφει· Θεοῖ τὸ πνεῦμα, τὸν δὲ νοῦν τρέφει ξένως.

Tremble, O man, as you behold the divine Blood. It is a burning coal that sears the unworthy. The Body of God both deifies and nourishes me: It deifies the spirit and wondrously nourishes the mind.

Ἔθελξας πόθῳ με Χριστέ, καὶ ἠλλοίωσας τῷ θείῳ σου ἔρωτι, ἀλλὰ κατάφλεξον, πυρὶ ἀΰλω τὰς ἁμαρτίας μου, καὶ εμπλησθῆναι τῆς ἐν σοὶ τρυφῆς καταξίωσον, ἵνα τὰς δύο σκιρτῶν, μεγαλύνω ἀγαθὲ παρουσίας σου.

You have smitten me with yearning, O Christ, and by Your divine eros You have changed me. But burn up with spiritual fire my sins, and grant me to be filled with delight in You, so that, leaping for joy, I may magnify, O Good One, Your two comings.

Ἐν ταῖς λαμπρότησι τῶν Ἁγίων σου, πῶς εἰσελεύσομαι ὁ ἀνάξιος; ἐὰν γὰρ τολμήσω συνεισελθεῖν εἰς τὸν νυμφῶνα, ὁ χιτὼν μὲ ἐλέγχει, ὅτι οὐκ ἔστι τοῦ γάμου, καὶ δέσμιος ἐκβαλοῦμαι ὑπὸ τῶν Ἀγγέλων. Καθάρισον, Κύριε, τὸν ῥύπον τῆς ψυχῆς μου, καὶ σῶσόν με ὡς φιλάνθρωπος.

How shall I, who am unworthy, enter into the splendor of Your saints? If I should dare to enter into the bridal chamber, my vesture will condemn me, since it is not a wedding garment; and being bound up, I shall be cast out by the angels. Cleanse, O Lord, the filth of my soul, and save me, as You are the one Who loves mankind.

Δέσποτα φιλάνθρωπε, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός μου, μὴ εἰς κρῖμά μοι γένοιτο τὰ ἅγια ταῦτα, διὰ τὸ ἀνάξιον εἶναί με, ἀλλ’ εἰς κάθαρσιν καὶ ἁγιασμὸν ψυχῆς τε καὶ σώματος,

Master Who loves mankind, Lord Jesus Christ, my God, let not these Holy Gifts be to my judgment because I am unworthy, but rather for the purification and sanctification

καὶ εἰς ἀῤῥαβῶνα τῆς μελλούσης ζωῆς καὶ βασιλείας. Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστι, τίθεσθαι ἐν τῷ Κυρίῳ τὴν ἐλπίδα τῆς σωτηρίας μου.

of both soul and body and the pledge of the life and Kingdom to come. It is good for me to cleave unto God and to place in Him the hope of my salvation.

Τοῦ Δείπνου σου τοῦ μυστικοῦ, σήμερον Υἱὲ Θεοῦ, κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ Μυστήριον εἴπω, οὐ φίλημά σοι δώσω, καθάπερ ὁ Ἰούδας, ἀλλ' ὡς ὁ Ληστὴς ὁμολογῶ σοι. Μνήσθητί μου Κύριε, [ὅταν ἔλθῃς] ἐν τῇ Βασιλείᾳ σου.

O Son of God, receive me today as a partaker of Your mystical supper. For I will not speak of the mystery to Your enemies, nor will I give You a kiss, as did Judas. But like the thief, I confess to You: Remember me, Lord, in Your Kingdom.

**ΧΟΡΟΣ**

**Κοινωνικόν. Ψαλμὸς 148.**

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν. Ἀλληλούϊα.

**CHOIR**

**Communion Hymn. Psalm 148.**

Praise the Lord from the heavens. Alleluia. [SAAS]

**ΔΙΑΚΟΝΟΣ**

Μετὰ φόβου Θεοῦ, πίστεως καὶ ἀγάπης προσέλθετε.

**DEACON**

With the fear of God, faith, and love, draw near.

*Καὶ γίνεται ἡ μετάληψις τοῦ Λαοῦ. Λαμβάνει ὁ Ἱερεὺς ἀπὸ τῶν τοῦ Διακόνου χειρῶν τὸ ἅγιον Ποτήριον καὶ μεταδίδωσιν αὐτοῖς λέγων·*

*And the people receive Holy Communion. The Priest receives the holy Chalice from the hands of the Deacon and begins communing the people, saying to each one:*

Μεταλαμβάνει ὁ δοῦλος τοῦ Θεοῦ (Ὄνομα) Σῶμα καὶ Αἷμα Χριστοῦ, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν αἰώνιον. Ἀμήν.

The servant of God (Name) partakes of the Body and Blood of Christ for the remission of sins and life eternal.

**ΧΟΡΟΣ**

Ὕμνοι καθῶς μεταλαμβάνει ὁ λαός.

**CHOIR**

Hymns During Holy Communion

**ΙΕΡΕΥΣ**

Σῶσον, ὁ Θεός, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

**PRIEST**

Save, O God, Your people, and bless Your inheritance.

**ΧΟΡΟΣ**

**Ὕμνος μετὰ τὴν Θ. Κοινωνίαν.**
**Ἦχος β΄.**

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες· αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

**CHOIR**

**Hymn after Holy Communion.**
**Mode 2.**

We have seen the true light; we have received the heavenly Spirit; we have found the true faith, worshiping the undivided Trinity, for the Trinity has saved us. [GOA]

**ΔΙΑΚΟΝΟΣ**

Ὕψωσον, δέσποτα.

**ΙΕΡΕΥΣ**

Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ Θεὸς καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν.

**ΙΕΡΕΥΣ**

Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*( Ἀμήν. )*

**ΔΙΑΚΟΝΟΣ**

Ὀρθοί· μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων, ἀθανάτων, ἐπουρανίων καὶ ζωοποιῶν, φρικτῶν τοῦ Χριστοῦ μυστηρίων, ἀξίως εὐχαριστήσωμεν τῷ Κυρίῳ.

*( Κύριε, ἐλέησον. )*

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

*( Κύριε, ἐλέησον. )*

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*( Σοί, Κύριε. )*

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

Η ΕΥΧΑΡΙΣΤΗΡΙΟΣ ΕΥΧΗ

Εὐχαριστοῦμέν σοι, Δέσποτα φιλάνθρωπε, εὐεργέτα τῶν ψυχῶν ἡμῶν, ὅτι καὶ τῇ παρούσῃ ἡμέρᾳ κατηξίωσας ἡμᾶς τῶν ἐπουρανίων σου καὶ ἀθανάτων μυστηρίων. Ὀρθοτόμησον ἡμῶν τὴν ὁδόν· στήριξον ἡμᾶς ἐν τῷ φόβῳ σου τοὺς πάντας· φρούρησον ἡμῶν τὴν ζωήν· ἀσφάλισαι ἡμῶν τὰ διαβήματα, εὐχαῖς καὶ ἱκεσίαις τῆς ἐνδόξου Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ πάντων τῶν ἁγίων σου.

**ΙΕΡΕΥΣ**

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ

**DEACON**

Exalt, Master.

**PRIEST**

Be exalted, O God, above the heavens, and let Your glory be over all the earth.

Blessed is our God.

**PRIEST**

Always, now and forever and to the ages of ages.

*( Amen. )*

**DEACON**

Arise! Having partaken of the divine, holy, pure, immortal, heavenly, life-creating, and awesome Mysteries of Christ, let us worthily give thanks to the Lord.

*( Lord, have mercy. )*

Help us, save us, have mercy on us, and protect us, O God, by Your grace.

*( Lord, have mercy. )*

Having prayed for a perfect, holy, peaceful, and sinless day, let us commend ourselves and one another and our whole life to Christ our God.

*( To You, O Lord. )*

**PRIEST** *(in a low voice)*

THE THANKSGIVING PRAYER

We give thanks to You, Master Who loves mankind, benefactor of our souls, that even on this very day You have made us worthy of Your heavenly and immortal Mysteries. Make straight our path, fortify us in Your fear, guard our life, make secure our steps, through the prayers and supplications of the glorious Theotokos and ever virgin Mary and of all Your saints.

**PRIEST**

For You are our sanctification, and to You we give glory, to the Father and to the Son and

τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*( Ἀμήν. )*

**ΙΕΡΕΥΣ**

Ἐν εἰρήνῃ προέλθωμεν.

**ΔΙΑΚΟΝΟΣ**

Τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

**ΙΕΡΕΥΣ**

ΕΥΧΗ ΟΠΙΣΘΑΜΒΩΝΟΣ

Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε, καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας, σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου. Τὸ πλήρωμα τῆς Ἐκκλησίας σου φύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ. Εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς Ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς βασιλεῦσιν ἡμῶν, τῷ στρατῷ καὶ παντὶ τῷ λαῷ σου· ὅτι πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἐκ σοῦ τοῦ Πατρὸς τῶν φώτων· καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*( Ἀμήν. )*

**ΧΟΡΟΣ**

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (ἐκ γ´)

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

Τὸ πλήρωμα τοῦ νόμου καὶ τῶν προφητῶν αὐτὸς ὑπάρχων, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πληρώσας πᾶσαν τὴν πατρικὴν οἰκονομίαν, πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

to the Holy Spirit, now and forever and to the ages of ages.

*( Amen. )*

**PRIEST**

Let us go forth in peace.

**DEACON**

Let us pray to the Lord.

*( Lord, have mercy. )*

**PRIEST**

THE PRAYER BEHIND THE AMBON

O Lord, Who blesses those who bless You and sanctifies those who put their trust in You, save Your people and bless Your inheritance. Protect the whole body of Your Church. Sanctify those who love the beauty of Your house. Glorify them in return by Your divine power, and forsake us not who have set our hope in You. Grant peace to Your world, to Your churches, to the clergy, to our civic leaders, to the armed forces, and to all Your people. For every good and perfect gift is from above, coming down from You, the Father of lights. To You we give glory, thanksgiving, and worship, to the Father and to the Son and to the Holy Spirit, now and forever and to the ages of ages.

*( Amen. )*

**CHOIR**

Blessed be the name of the Lord, from this time forth and to the ages. (3) [GOA]

**PRIEST** *(in a low voice)*

Christ our God, You are the fulfillment of the Law and the Prophets. You have fulfilled the Father's entire plan of salvation. Fill our hearts with joy and gladness always, now and forever and to the ages of ages. Amen.

**ΔΙΑΚΟΝΟΣ**

Τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

**ΙΕΡΕΥΣ**

Εὐλογία Κυρίου καὶ ἔλεος ἔλθοι ἐφ’ ὑμᾶς τῇ αὐτοῦ θείᾳ χάριτι καὶ φιλανθρωπίᾳ πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*( Ἀμήν. )*

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

**ΙΕΡΕΥΣ**

Δόξα σοι, Χριστὲ ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὁ ἀναστὰς ἐκ νεκρῶν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν· (τοῦ Ἁγίου τοῦ Ναοῦ)· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ τοῦ Ἁγίου Ἱερομάρτυρος Βαβύλα, Ἐπισκόπου Ἀντιοχείας, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν· καὶ πάντων τῶν ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

**ΧΟΡΟΣ**

Τὸν εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς, Κύριε, φύλαττε εἰς πολλὰ ἔτη.

**DEACON**

Let us pray to the Lord.

*( Lord, have mercy. )*

**PRIEST**

May the blessing and the mercy of the Lord come upon you by His divine grace and love for mankind, always, now and forever and to the ages of ages.

*( Amen. )*

Glory to You, our God. Glory to You.

**PRIEST**

Glory to You, O Christ our God. Glory to You.

May He Who rose from the dead, Christ our true God, through the intercessions of His all-pure and all-immaculate holy Mother, the power of the precious and life-giving Cross, the protection of the honorable, bodiless powers of heaven, the supplications of the honorable, glorious prophet and forerunner John the Baptist, of the holy, glorious, and praiseworthy apostles, of the holy, glorious, and triumphant martyrs, of our righteous and God-bearing fathers, (local patron saint); of the holy and righteous ancestors of God Joachim and Anna, and the holy hieromartyr Babylas, whose memory we observe, and of all the saints, have mercy on us and save us, for He is good and merciful and loves mankind.

**CHOIR**

Lord, protect for many years the one who blesses and sanctifies us. [GOA]

**ΙΕΡΕΥΣ**

Δι’ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.

*( Ἀμήν. )*

**PRIEST**

Through the prayers of our holy fathers, Lord Jesus Christ, our God, have mercy on us and save us.

*( Amen. )*